# Septem sunt occupationes monachi

## Ἑπτά εἰσιν αἱ ἐργασίαι τοῦ μοναχοῦ

Πρώτη ἡσυχία, ἀπερίσπαστον διαγωγὴν ἔχουσα, ἀπέχουσαν πάσης μερίμνης βιωτικῆς, ἵνα δυνηθῇ ἐκ τοῦ μακρυσμοῦ τῶν ἀνθρώπων προσκολληθῆναι τῷ Θεῷ. β΄, νηστεία σύμμετρος, ἤγουν τὸ ἅπαξ ἐσθίειν καθ' ἡμέραν, καὶ μὴ κορέννυσθαι, ἐξ εὐτελῶν τροφῶν. γ΄, ἀγρυπνία σύμμετρος, ἤγουν τὸ ἥμισυ τῆς νυκτὸς εἰς ψαλμῳδίαν καὶ στεναγμοὺς καὶ δάκρυα δαπανᾷν. δ΄, ψαλμῳδία, ἤγουν προσευχὴ σωματικὴ διὰ ψαλμοὺς καὶ γονάτων κλίσιν. ε΄, προσευχὴ πνευματική, ἡ διὰ τοῦ νοὸς γινομένη, ἀπέχουσα πᾶσαν ἔννοιαν. ΄, ἀνάγνωσις ἔν τε βίοις τῶν ἁγίων Πατέρων καὶ λόγοις αὐτῶν· μηδόλως περὶ δογμάτων ξένων ἢ ἄλλων τινῶν ἀκούειν· ἵνα διὰ τῶν λόγων τῶν Πατέρων νικήσῃ τὰ πάθη. ζ΄, ἐρώτησις ἐμπείρων περὶ παντὸς λόγου καὶ ἐγχειρημάτων, ἵνα μὴ ἐξ ἀπειρίας καὶ αὐταρκείας ἄλλα ἀντ' ἄλλων νοῶν καὶ ποιῶν ἀπόληται.



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.